**0345-0407 - Iohannes Chrysostomus - In decollationem sancti Joannis**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 224 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In decollationem sancti Joannis

[00001] ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΚΑΙ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ, Καὶ

[00002] εἰς τὴν Ἡρωδιάδα.

59.485

[00003] Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται, πάλι ὀρχεῖται, πάλιν ἐπιζητεῖ τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ ἀνόμως ὑπὸ Ἡρώδου ἀποτμηθῆναι.

[00004] Πάλιν Ἰεζάβελ περιέρχεται ζητοῦσα τοῦ Ναβουθαὶ τὸν ἀμπελῶνα ἁρπάσαι, καὶ τὸν ἅγιον Ἠλίαν καταδιῶξαι ἐπὶ τὰ ὄρη.

[00005] Οἶμαι δὲ μὴ μόνον ἐμὲ εἰς ἔκστασιν τυγχάνειν, ἀλλὰ καὶ πάντας ὑμᾶς τοὺς ἀκούοντας τῆς τοῦ Εὐαγγελίου φωνῆς, καὶ θαυμάζειν σὺν ἐμοὶ τὴν μὲν Ἰωάννου παῤῥησίαν τὴν δὲ Ἡρώδου κουφότητα, καὶ τὴν τῶν ἀθέων γυναικῶν θηριώδη μανίαν.

[00006] Τί γὰρ ἠκούομεν;

[00007] Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔθετο ἐν φυλακῇ.

[00008] Διὰ τί;

[00009] Διὰ Ἡρωδιάδα γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.

[00010] Καὶ ψέξειεν ἄν τις τὴν Ἡρώδου κουφότητα ὑπὸ δυστήνων γυναικῶν παραχθεῖσαν.

[00011] Τί δ' ἄν τις εἴποι, ἢ πῶ τις ἐκφράσειε τὴν τῶν γυναικῶν ἐκείνων ἀκόλαστον πονηρίαν;

[00012] Ἐμοὶ μὲν δοκεῖ μηδὲν εἶναι ἐν κόσμῳ θηρίον ἐφάμιλλον γυναικὸς πονηρᾶς.

[00013] Ἀλλὰ νῦν ἐμοὶ περὶ πονηρᾶς ὁ λόγος, οὐ περὶ ἀγαθῆς καὶ σώφρονος.

[00014] Οἶδα γὰρ πολλὰς εὐσχήμονας καὶ ἀγαθὰς, ὧν με δεῖ μνημονεῦσαι τὸν βίον πρὸς οἰκοδομὴν καὶ ἔρωτα τῶν καλῶν.

[00015] Οὐ [59.486] δὲν τοίνυν θηρίον ἐν κόσμῳ ἐφάμιλλον γυναικὸς πονηρᾶς.

[00016] Τί λέοντος δεινότερον ἐν τετραπόδοις;

[00017] Ἀλλ' οὐδέν.

[00018] Τί δὲ ὠμότερον δράκοντος ἐν ἑρπετοῖς;

[00019] Ἀλλ' οὐδέν.

[00020] Πλὴν καὶ λέων καὶ δράκων ἐν τῷ κακῷ ἐλάττω τυγχάνουσι Καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ σοφώτατος Σολομὼν, λέγων·

[00021] Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησα, ἢ μετὰ γυναικὸς πονηρᾶς καὶ γλωσσώδους.

[00022] Καὶ ἵνα μὴ νομίσης τὸν προφήτην εἰρωνείᾳ εἰρηκέναι, ἐξ αὐτῶν τῶν πραγμάτων κατάμαθε ἀκριβῶς.

[00023] Τὸν Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες ᾐδέσθησαν, τὸν δὲ δίκαιον Ναβουθαὶ Ἰεζάβελ ἐφόνευσε·

[00024] τὸ κῆτος τὸν Ἰωνᾶν ἐν τῇ κοιλίᾳ ἐφύλαξε, Δαλιλὰ δὲ τὸν Σαμψὼν ξυρήσασα καὶ δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε·

[00025] δράκοντες καὶ ἀσπίδες καὶ κεράσται τὸν Ἰωάννην ἐν τῇ ἐρήμῳ ἐτρόμασαν, Ἡρωδιὰς δὲ αὐτὸν ἐν ἀρίστῳ ἀπέτεμεν·

[00026] οἱ κόρακες τὸν Ἠλίαν ἐν τῷ ὄρει διέθρεψαν, Ἰεζάβελ δὲ αὐτὸν μετὰ τὴν εὐεργεσίαν τοῦ ὑετοῦ πρὸς φόνον ἐδίωκε.

[00027] Τί γὰρ ἔλεγεν;

[00028] Εἰ σὺ Ἠλιοὺ, καὶ ἐγὼ Ἰεζάβελ·

[00029] Τάδε ποιήσαισάν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον ταύτῃ τῇ ὥρᾳ θήσομαι τὴν ψυχήν σου ὡς ἑνὸς τῶν τεθνηκότων.

[00030] Καὶ ἐφοβήθη Ἠλίας, καὶ ἐπορεύθη κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν ἔρημον ὁδὸν ἡμερῶν τεσσαρά

[00031] [59.487] κοντα Καὶ ἦλθεν ὑπὸ Ῥαθμὲν, καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν, καὶ εἶπε·

[00032] Κύριε ὁ Θεὸς, ἱκανούσθω μοι νῦν, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείσσων ἐγὼ ὑπὲρ τοὺς πατέρας μου.

[00033] Οἴμοι! ὁ προφήτης Ἠλίας ἐφοβήθη γυναῖκα;

[00034] ὁ τὸν ὑετὸν τῆς οἰκουμένης ἐν τῇ γλώττῃ βαστάζων, ὁ πῦρ οὐρανόθεν κατενέγκας, καὶ δι' εὐχῆς νεκροὺς ἐγείρας, ἐφοβήθη γυναῖκα;

[00035] Ναὶ, ἐφοβήθη.

[00036] Οὐδεμία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ.

[00037] Μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ Σοφία λέγουσα, ὅτι Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός.

[00038] Ὦ τὸ κακὸν τοῦ διαβόλου καὶ ὀξύτατον ὅπλον! διὰ γυναικὸς ἐξ ἀρχῆς τὸν Ἀδὰμ ἐν παραδείσῳ κατέτρωσε·

[00039] διὰ γυναικὸς τὸν πραότατον Δαυῒδ πρὸς τὴν τοῦ Οὐρίου δολοφονίαν ἐξέμηνε·

[00040] διὰ γυναικὸς τὸν σοφώτατον Σολομῶντα πρὸς παράβασιν κατέστρωσε·

[00041] διὰ γυναικὸς τὸν ἀνδρειότατον Σαμψῶνα ξυρήσας ἐτύφλωσε·

[00042] διὰ γυναικὸς τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἱερέως ἠδάφισε·

[00043] διὰ γυναικὸς τὸν εὐγενέστατον Ἰωσὴφ ἐν φυλακῇ δεσμεύσας κατέκλεισε·

[00044] διὰ γυναικὸς τὸν παντὸς κόσμου λύχνον Ἰωάννην ἀπέτεμε.

[00045] Τί δὲ λέγω περὶ ἀνθρώπων;

[00046] Διὰ γυναικὸς τοὺς ἀγγέλους οὐρανόθεν κατέβαλε·

[00047] διὰ γυναικὸς πάντας κατασφάζει, πάντας φονεύει, πάντας ἀτιμάζει, πάντας ὑβρίζει.

[00048] Γυνὴ γὰρ ἀναιδὴς οὐδενὸς φείδεται·

[00049] οὐ Λευΐτην τιμᾷ, οὐχ ἱερέα ἐντρέπεται, οὐ προφήτην αἰδεῖται.

[00050] Ὦ κακὸν κακοῦ κάκιστον γυνὴ πονηρά! Κἂν μὲν πενιχρὰ ᾖ, τῇ κακίᾳ πλουτεῖ·

[00051] ἐὰν δὲ πλοῦτον ἔχῃ τῇ πονηρίᾳ συνεργοῦντα, δισσὸν τὸ κακὸν, ἀφόρητον τὸ ζῶον, ἀθεράπευτος νόσος, ἀνήμερον θηρίον.

[00052] Ἐγὼ οἶδα καὶ ἀσπίδας κολακευομένας ἡμεροῦσθαι, καὶ λέοντας καὶ τίγρεις καὶ παρδάλεις τιθασσευομένας πραΰνεσθαι·

[00053] γυνὴ δὲ πονηρὰ καὶ ὑβριζομένη μαίνεται, καὶ κολακευομένη ἐπαίρεται.

[00054] Κἂν ἔχῃ ἄνδρα ἄρχοντα, νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λόγοις αὐτὸν ἐκμοχλεύουσα πρὸς δολοφονίαν ὀξύνει, ὡς Ἡρωδιὰς τὸν Ἡρώδην·

[00055] κἂν πένητα ἔχῃ ἄνδρα, πρὸς ὀργὰς καὶ μάχας αὐτὸν διεγείρει·

[00056] κἂν χήρα τυγχάνῃ, αὐτὴ δι' ἑαυτῆς τοὺς πάντας ἀτιμάζει.

[00057] Φόβῳ γὰρ Κυρίου οὐ χαλινοῦται τὴν γλῶτταν, οὐκ εἰς τὸ μέλλον κριτήριον ἀποβλέπει, οὐκ εἰς Θεὸν ἀναβλέπει, οὐ φιλίας οἶδε θεσμοὺς φυλάττειν.

[00058] Οὐδέν ἐστι γυναικὶ πονηρᾷ τὸν ἴδιον ἄνδρα παραδοῦναι εἰς θάνατον.

[00059] Ἀμέλει γοῦν τὸν δίκαιον Ἰὼβ ἡ ἰδία γυνὴ πρὸς θάνατον τῆς βλασφημίας παρεδίδω, λέγουσα·

[00060] Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα.

[00061] Ὦ φύσεως πονηρᾶς! ὢ προαιρέσεως ἀνοσίας! Οὐκ ἠλέησεν ὁρῶσα τοῦ ἰδίου ἀνδρὸς τὰ σπλάγχνα ὑπὸ τῶν ἀναζεουσῶν φλυκταινῶν, ὥσπερ ὑπὸ ἀνθράκων σπινθηροβόλων καιόμενα, καὶ ὅλας τὰς σάρκας τοῖς σκώληξι συνειλημμένας·

[00062] οὐκ ἐκάμφθη πρὸς οἶκτον, ὁρῶσα αὐτὸν ὅλον δι' ὅλου ἑλισσόμενον, καὶ κάμνοντα καὶ ἀγωνιῶντα, καὶ συνεχῆ ἄσθματα μετὰ πόνου κεχηνότι τῷ στόματι φέροντα.

[00063] Οὐκ ἐμειλίχθη πρὸς εὐσπλαγχνίαν ὁρῶσα τόν ποτε ἐν βασιλικῇ πορφυρίδι προσιόντα, τότε ἐπὶ κοπρίας κείμενον γεγυμνωμένον τῷ σώματι·

[00064] οὐκ ἐμνημόνευσε τῆς πρὸς αὐτὸν ἀρχαίας συνηθείας, οὐδ' ὅσα δι' αὐτὸν ἐπίδοξα καὶ καλὰ ἤνθησεν αὕτη.

[00065] Ἀλλὰ τί;

[00066] Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα.

[00067] Ὢ χάρις γυναικός! ὢ μάλαγμα ὀδύνων προμαλακτήριον! ὢ φιλίας ὁμοζύγου θεσμός! Ἆρα σοῦ ποτε ἀῤῥωστούσης τοιοῦτον ἐφθέγξατο ῥῆμα, καὶ οὐχὶ εὐχαῖς καὶ εὐποιίαις τὴν νόσον σου ἀπέσμηξεν;

[00068] οὐκ ἤρκει γὰρ αὐτῷ ἡ πρόσκαιρος παιδεία, ἀλλὰ καὶ αἰώνιον αὐτῷ προξενεῖς τὴν κόλασιν διὰ τῆς βλασφημίας;

[00069] ἢ οὐκ οἶδας, ὅτι Πᾶσα βλασφημία καὶ ἁμαρτία ἀφεθήσεται ἀνθρώποις·

[00070] ἡ δὲ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου βλασφημία, οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι;

[00071] Θέλεις ἰδεῖν καὶ ἄλλην τῆς πονηρίας ταύτης ὁμόζυγον;

[00072] Ἴδε μοι τὴν Δαλιλάν.

[00073] Καὶ γὰρ ἐκείνη τὸν ἀνδρειότατον Σαμψῶνα ξυρήσασα καὶ δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε, τὸν ἴδιον ἄνδρα τὸν ἴδιον σύνευνον, ὃν ἔθαλπεν, ὃν ἐθώπευεν, ὃν ἐκολάκευεν, ὃν ὑπὲρ ἑαυτὴν ἀγαπᾷν ὑπεκρίνατο·

[00074] ὃν χθὲς ἠγάπα, σήμερον ἠπάτα·

[00075] ὃν χθὲς ἔθαλπεν ἀγαπῶσα, σήμερον ἔθαπτεν ἀπατῶσα.

[00076] Καὶ μὴν οὐκ ἦν ὡραῖος;

[00077] Καὶ τίς αὐτοῦ ὡραιότερος κατ' ἐκεῖνο καιροῦ, ὃς ἑπτὰ βο [59.488] στρύχους ἐπὶ κεφαλῆς ἔφερε, τῆς ἑπταφώτου χάριτος τὴν εἰκόνα βαστάζων;

[00078] Καὶ μὴν οὐκ ἦν ἀνδρεῖος;

[00079] Καὶ τίς αὐτοῦ ἀνδρειότερος, ὅς γε λέοντα φοβερὸν ἐν ὁδῷ μόνος ἀπέπνιξε, καὶ ἐν μιᾷ σιαγόνι ὄνου χιλίους ἀλλοφύλους κατέστρωσεν;

[00080] Ἀλλὰ καὶ οὐχ ἅγιος ἦν;

[00081] Τοσοῦτον ἦν ἅγιος, ὡς διψήσαντα αὐτόν ποτε ἐν σπάνει ὕδατος εὔξασθαι, καὶ ἐκ τῆς κατεχομένης ἐν τῇ χειρὶ αὐτοῦ σιαγόνος νεκρᾶς ὕδωρ πηγάσαι, κἀκεῖθεν τὸ ἴαμα τῆς δίψης ἀρύσασθαι.

[00082] Καὶ τὸν οὕτως ὡραῖον, τὸν οὕτως ἀνδρεῖον, τὸν οὕτως ἅγιον, ἡ ἰδία γυνὴ, ὡς πολέμιον δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε.

[00083] Καὶ πόθεν ἄρα γυνὴ τοῦ οὕτως ἀνδρείου κατίσχυσεν;

[00084] Ἐκ τῆς οἰκείας τοῦ ἀνδρὸς ἀγαθότητος.

[00085] Τὸ γὰρ μυστήριον αὐτοῦ τῆς ἰσχύος νύκτωρ ἀποσυλήσασα, γυμνὸν αὐτὸν ἱμᾶσιν ἰσχυροῖς κατέστρεψε.

[00086] Διὰ τοῦτο παραγγέλλει σοι ἡ Σοφία·

[00087] Ἀπὸ τῆς συγκοίτου σου φυλάσσου τοῦ ἀναθέσθαι τι αὐτῇ.

[00088] Ποῖον, εἰπέ μοι, θηρίον κατὰ τοῦ ἰδίου ἄῤῥενος τοιαῦτα ἐμελέτησε πώποτε;

[00089] τίς δράκαινα τὸν ἴδιον ὁμόζυγον ἀπολέσθαι θέλει;

[00090] ποία δὲ λέαινα τὸν ἴδιον ἄῤῥενα πρὸς σφαγὴν παραδίδωσιν;

[00091] Ὁρᾷς ὅτι ἐπιτετευγμένως εἶπεν ἡ Σοφία, ὅτι Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός;

[00092] Καὶ ἁπαξαπλῶς, ὁ ἔχων γυναῖκα πονηρὰν, γινωσκέτω ἤδη τοὺς τῶν ἀνομιῶν αὐτοῦ κεκομίσθαι μισθούς.

[00093] Οὐκ ἀμάρτυρος ὁ λόγος·

[00094] ἄκουε τῆς Σοφίας λεγούσης·

[00095] Γυνὴ πονηρὰ ἀνδρὶ ἀνόμῳ δοθήσεται ἀντὶ ἔργων πονηρῶν.

[00096] Ἀλλὰ περὶ πονηρᾶς γυναικὸς ὁ λόγος ἄχρι τούτου ἐχέτω ὅρον.

[00097] β'.

[00098] Δεῖ δὲ ἡμᾶς μνημονεῦσαι καὶ τὰς ἀγαθὰς μάλιστα διὰ τὰς παρούσας.

[00099] Αἱ γὰρ ἀγαθαὶ τὰς τῶν ἀγαθῶν ἀρετὰς ὡς ἰδίας ὁρῶσι, καὶ τοὺς ἐκείνων πόνους ὡς ἰδίους στεφάνους εἶναι λογίζονται.

[00100] Γυνὴ ἀγαθὴ καὶ φιλόξενος ἦν ἡ μακαρία Σουναμῖτις, ἥτις τὸν ἄνδρα παρακαλέσασα, δωμάτιον ᾠκοδόμησε τῷ Ἐλισσαίῳ, ἵνα διερχόμενος ἀκωλύτως ἔχῃ τὴν ἀνάπαυσιν, τεθεικυῖα αὐτῷ κλίνην καὶ λυχνίαν καὶ τράπεζαν·

[00101] κλίνην οὐ κενὴν ἱματίων, ἀλλ' ἔχουσαν πρέποντα τῷ προφήτῃ τὰ στρώματα·

[00102] λυχνίαν οὐκ ἄνευ λύχνου, ἀλλὰ σὺν τῷ ἄρδοντι ἐλαίῳ τὸ φῶς·

[00103] τράπεζαν οὐκ ἔρημον ἄρτων, ἀλλ' ἔγκαρπον ἐδεσμάτων.

[00104] Τί δ' ἄν τις εἴπῃ περὶ τῆς μακαρίας ἐκείνης χήρας τῆς τὸν προφήτην Ἡλίαν ὑποδεξαμένης;

[00105] ἢ οὐδὲν ἐνεπόδιζεν ἡ πενία τῶν χρημάτων, διὰ τὸ πλούσιον τῆς προαιρέσεως;

[00106] ἢ οὐ παρῆν οὐ σῖτος, οὐκ οἶνος, οὐ προσέψημα, οὐκ ἄλλο τι τῶν γεηρῶν πρὸς τὴν τῆς πενίας παραμυθίαν.

[00107] Οὐ χώρα αὐτῇ σιτοφόρος σπέρμα ἄρτου προσέφερεν·

[00108] οὐκ ἄμπελος αὐτῇ γλυκόῤῥυτον βότρυν ἐγεώργει·

[00109] οὐ δένδρον αὐτῇ ὀπώρας καρπὸν ἥδιστον προσέφερε.

[00110] Πῶς γὰρ, ᾗ οὔτε σπιθαμὴ γῆς ἀροσίμου τόπος ὑπῆρχεν, οὔτε πηχυαῖον ἔδαφος πρὸς ἀμπέλου φυτείαν;

[00111] ἀλλ' ἀεὶ ἐν τῷ καιρῷ τοῦ θέρους ἐν ταῖς ἀρούραις κυρτοβατοῦσα, τοὺς ἀποπίπτοντας τῶν δρεπανιστῶν παλάμαις ἀστάχυας ἐρανιζομένη, συμμεμετρημένην τῷ ἐνιαυσιαίῳ κύκλῳ τοῦ χρόνου τὴν τροφὴν ἀπετίθετο.

[00112] Πρὸς ταύτην ἀπῆλθεν Ἡλίας ἐν τῷ καιρῷ τοῦ λιμοῦ, ὅτε πᾶσα ἡ γῆ ἐκ τῆς ἀβροχίας σχεδὸν διεθρύπτετο·

[00113] ὅτε οὐρανὸς ἐπεπύρωτο, καὶ ὁ ἀὴρ ἐχαλκοῦτο, καὶ αἱ νεφέλαι ἐχαλινοῦντο·

[00114] ὅτε οὐ βοτάνη, οὐκ ἄνθος, οὐκ ἀκροδρύων βλαστὸς, οὐκ αὔρα ἔνδροσος, οὐ στάχυος ἀκμὴ ἐσαλεύετο·

[00115] ὅτε ποταμοὶ ἐλεπτύνθησαν, καὶ πηγαὶ τοὺς μαζοὺς τῶν ὑδάτων τῷ καύσωνι ἔσφιγξαν, καὶ θάλασσα ἐξηλμίσθη, μὴ ἐπεισερχομένων αὐτῇ γλυκέων ὑδάτων καὶ ὄμβρων ἀνασταλέντων.

[00116] Τότε ἀπῆλθεν Ἡλίας πρὸς τὴν πενιχρὰν καὶ τὴν χήραν.

[00117] Οἷα δὲ πάσχει χήρα καὶ ἐν καιρῷ εὐθηνίας, οἴδατε.

[00118] Καὶ ἀφῆκε τοὺς πλουσίους ὁ προφήτης, τοὺς ἔχοντας δαψιλῶς ἄρτους, καὶ καταβὰς ἀπὸ τοῦ ὄρους, ἦλθε πρὸς αὐτήν.

[00119] Διὰ τί γὰρ μᾶλλον ὁ πῦρ οὐρανόθεν ῥήμασι κατενέγκας, ἄρτους ἑαυτῷ οὐ κατήνεγκε;

[00120] μὴ οὐκ ἠδύνατο;

[00121] Ναὶ, ἠδύνατο·

[00122] ἀλλὰ τοῦτο οὐκ ἐποίησε.

[00123] Διὰ τί;

[00124] Ἵνα μὴ τῆς φιλοξενίας τοὺς καρποὺς στερήσῃ τὴν χήραν·

[00125] ἄλλως δὲ καὶ τὴν δράκα τοῦ ἀλεύρου καὶ τὸ ὀλιγοστὸν ἔλαιον διὰ τῆς εὐλογίας πληθύνει.

[00126] Οὐ γὰρ τοσοῦτον ἀπῆλθεν ὁ προφήτης τραφῆναι, ὅσον θρέψαι τὴν πενιχρὰν, καὶ ἐλέγξαι κρυπτομένην καρδίαν καὶ εὐπροαίρετον.

[00127] Τοῦτο ποιεῖ ὁ Θεὸς δυνάμενος πάντας τοὺς ἁγίους, τοὺς ὄντας ἐν κόσμῳ, δι' ἑαυτοῦ θρέψαι·

[00128] ἐπέχει τὴν δόσιν, ἵνα τὰς εὐπροαιρέτους καρδίας ἐν τῷ τῆς φι [59.489] λοξενίας καιρῷ ἀπὸ τῶν καρπῶν διακρίνῃ.

[00129] Ἐπειδὰν δὲ μὴ ὦσί τινες οἱ ὀφείλοντες αὐτοὺς ὑποδέξασθαι, ἢ δι' ὀρνέων τρέφει, ὡς τὸν Ἡλίαν ἐν τῷ ὄρει, ἢ διὰ προφήτου ξένου, ὡς τὸν Δανιὴλ ἐν τῷ λάκκῳ, ἢ διὰ θαλαττίου ζώου, ὡς τὸν Ἰωνᾶν διὰ τοῦ κήτους, ἢ αὐτὸς δι' ἑαυτοῦ τὴν τροφὴν ἐπώμβρισεν, ὡς τοῖς πατράσιν ἡμῶν ἐν ἐρήμῳ·

[00130] οὐκ ὄντων γὰρ τῶν ὀφειλόντων αὐτοὺς ὑποδέξασθαι, οὐρανόθεν τὸ μάννα ἐπώμβρισε, καὶ ἐκ πέτρας ὕδωρ ἐπήγαζεν·

[00131] ὅταν δὲ ὦσιν οἱ ἅγιοι ἐν κόσμῳ συναναστρεφόμενοι τοῖς ἄλλοις, ἀναστέλλει αὐτοῦ τὴν δεξιὰν χεῖρα·

[00132] κἂν ὁρᾷ αὐτοὺς θλιβομένους, ἀφίησιν, ἵνα δῷ χάριν διὰ τῆς εἰς αὐτοὺς γινομένης εὐποιίας πολλῆς τοῖς βουλομένοις τὴν σωτηρίαν καρπώσασθαι.

[00133] Ἀπῆλθεν οὖν Ἠλίας πρὸς τὴν χήραν, ᾗ οὐδὲν παρῆν, εἰ μὴ δρὰξ ἀλεύρου, ὅπερ μετὰ καμάτου αὐτῇ καὶ τοῖς τέκνοις αὐτῆς ἐν τῷ καιρῷ ἀρίστου ἐπήρκει.

[00134] Καὶ τί πρὸς αὐτήν;

[00135] Λάβε μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι.

[00136] Αὐτῆς δὲ πορευομένης, ἐβόησεν ὀπίσω αὐτῆς·

[00137] Λήψῃ δέ μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου.

[00138] Ἡ δὲ, ὃ μὲν οὐκ εἶχεν, εἶπεν·

[00139] ὃ δὲ εἶχεν, ὡμολόγησε.

[00140] Τί γάρ;

[00141] Ζῇ Κύριος, εἰ ἔσται μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ.

[00142] Θαυμαστὸν, ὅτι ἐν τοιαύτῃ σπάνει τροφῶν τὸ παρὸν αὐτῇ τῆς πενίας λείψανον οὐκ ἠρνήσατο.

[00143] Πόσοι νῦν χρυσὸν καὶ ἄργυρον ὡς πηλὸν ἔχοντες, παρακαλούμενοι τὰς εὐεργεσίας τῶν φίλων ἀνανεύουσι, καὶ κολακευόμενοι ἀρνοῦνται τὸ ἔχειν;

[00144] κἂν παρακλήσει καμφθῶσι πρὸς τὴν ἐπίδοσιν, γράμματα συντάττουσι σιδήρου ἰσχυρότερα, καὶ τὴν δεχομένην χεῖρα πρῶτον τοῖς γραμματείοις δεσμεύουσιν, ἱκανοδότας καὶ μεσίτας τοῦ χρυσίου λαμβάνοντες.

[00145] Ἐκείνη δὲ ἀπὸ μιᾶς φωνῆς οὐκ ἠρνήσατο τὴν δράκα τοῦ ἀλεύρου.

[00146] Καὶ τί πρὸς αὐτὴν ὁ προφήτης;

[00147] Σπεῦσον, καὶ ποίησόν μοι ἐγκρυφίας, ἐν πρώτοις ἐμοὶ, ἐπ' ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου.

[00148] Πειρασμὸς ἦν τὸ ῥῆμα τοῦ προφήτου, δοκιμὴ καρδίας, προαιρέσεως βάσανος·

[00149] καὶ ἦν ὥσπερ ὑπὸ ζυγοῦ κειμένη ἡ καρδία τῆς μακαρίας ἐκείνης, καὶ δοκιμαζομένη.

[00150] Ποῦ ἄρα ῥέπει;

[00151] Πρὸς τὴν τῶν τέκνων ἑαυτῆς εὔ [59.490] νοιαν, ἢ πρὸς τὴν τοῦ προφήτου φιλοξενίαν;

[00152] Ἡ δὲ εἵλετο μᾶλλον αὐτὴν καὶ τὰ τέκνα αὐτῆς στενοχωρῆσαι, καὶ τὸν προφήτην ὑποδέξασθαι.

[00153] Ἤδει γὰρ, ὅτι Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται·

[00154] καὶ ὁ ποτίζων ποτήριον ψυχροῦ εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

[00155] Τί δέ ἐστιν ὃ εἶπεν ὁ προφήτης, Σπεῦσον;

[00156] ἆρά γε τοσοῦτον ἐπείνα, ὡς δεῖσθαι σπουδῆς;

[00157] Οὐ πάντως, ἀλλὰ τὸ τῆς εὐποιίας σπουδαῖον καὶ ἱλαρὸν καὶ θερμὸν, μὴ μετὰ λύπης, ἢ μετὰ ἀνάγκης·

[00158] Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

[00159] Σπεῦσον καὶ ποίησον ἐν πρώτοις ἐμοὶ, ἐπ' ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου.

[00160] Σπεῦσον, ὡς Ἀβραὰμ ἐν τῇ τῶν ἀγγέλων ἐπιδημίᾳ ἔσπευσεν ἐπὶ τοὺς βόας, ἐπὶ τὸν μόσχον, ἵνα λάβῃ τὸν ἀμνόν·

[00161] καὶ ὡς Σάῤῥα ἔσπευσεν ἐπὶ τοὺς ἐγκρυφίας, ἵνα λάβῃ τὸν ἐν οὐρανοῖς κρυπτόμενον ἄρτον.

[00162] Σπεῦσον, καὶ ποίησον ὡς Ἀβραὰμ τὰς θυσίας τῷ Θεῷ·

[00163] μὴ πρότερον σαυτῇ, καὶ τότε ἐμοὶ, ὡς Κάϊν, καὶ Ὀφνὶ, καὶ Φινεὲς, υἱοὶ Ἠλὶ τοῦ ἱερέως, οἵτινες τὸν Θεὸν παρύβριζον, πρῶτοι τὰς ἀπαρχὰς λαμβάνοντες τῶν τῷ Θεῷ προσφερομένων δώρων.

[00164] Ἡ δὲ τὸ προστεταγμένον σπουδαίως ἐποίει.

[00165] Ὁ δὲ τὸν ἄρτον ἐγκρυφίαν πλούσιον θεασάμενος ἐδέξατο, ἐφθέγξατο, καὶ τὸν οἶκον αὐτῆς ἐνέπλησεν ἀγαθῶν.

[00166] Οὐκ ἐκλείψει γὰρ, φησὶν, ἡ δρὰξ τοῦ ἀλεύρου ἐκ τῆς ὑδρίας, καὶ τὸ ἔλαιον ἐκ τοῦ καμψάκου, ἕως τοῦ δοῦναι τὸν Κύριον ὑετὸν ἐπὶ τὴν γῆν.

[00167] Διὰ τί ἕως τότε;

[00168] Καὶ ἀναγκαίως.

[00169] Ἔδει γὰρ τῆς καινῆς χάριτος ὡς ὑετοῦ ἐλθόντος, τὸν παλαιὸν νόμον λαβεῖν τέλος.

[00170] Καὶ ἠκολούθει τὸ ἔργον τῷ λόγῳ.

[00171] Ὁρᾷς πῶς τῆς φιλοξενίας τοὺς καρποὺς ἐτρύγησαν αἱ ἀγαθαί;

[00172] Ἀγαθῶν γὰρ πόνων καρποὶ εὐκλεεῖς, καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως.

[00173] Ἠκούσατε, γυναῖκες, τὰς τῶν πονηρῶν γυναικῶν πράξεις, καὶ τὰς τῶν ἀγαθῶν ἀρετάς.

[00174] Τὰς μὲν οὖν ἀγαπήσατε, τὰς δὲ μὴ ποθήσατε·

[00175] καὶ τὰς μὲν μιμήσασθε, τὰς δὲ μισήσατε, ἵνα τὸν αὐτῶν δρόμον, τῶν καλῶν λέγω, ἰχνηλατήσαντες, εἰς τὸν αὐτὸν τῶν ἁγίων χορὸν ἀριθμηθῆτε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00176] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In decollationem sancti Joannis**
**Litterarum Omnium Conspectus: 138 Litterae, quae repetitae sunt in 10,973 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 843 | Α | 0913 | 6 |
| β | 0946 | 56 | Β | 0914 | 2 |
| γ | 0947 | 179 | Γ | 0915 | 3 |
| δ | 0948 | 236 | Δ | 0916 | 0 |
| ε | 0949 | 504 | Ε | 0917 | 5 |
| ζ | 0950 | 32 | Ζ | 0918 | 1 |
| η | 0951 | 142 | Η | 0919 | 2 |
| θ | 0952 | 122 | Θ | 0920 | 9 |
| ι | 0953 | 416 | Ι | 0921 | 4 |
| κ | 0954 | 388 | Κ | 0922 | 30 |
| λ | 0955 | 291 | Λ | 0923 | 3 |
| μ | 0956 | 262 | Μ | 0924 | 3 |
| ν | 0957 | 951 | Ν | 0925 | 8 |
| ξ | 0958 | 40 | Ξ | 0926 | 0 |
| ο | 0959 | 742 | Ο | 0927 | 25 |
| π | 0960 | 335 | Π | 0928 | 15 |
| ϱ | 0961 | 466 | Ρ | 0929 | 2 |
| ς | 0962 | 449 | • | 0930 | 0 |
| σ | 0963 | 330 | Σ | 0931 | 19 |

| | | | | | |
|---|---|---|---|---|---|
| τ | 0964 | 761 | Τ | 0932 | 21 |
| υ | 0965 | 231 | Υ | 0933 | 4 |
| φ | 0966 | 116 | Φ | 0934 | 3 |
| χ | 0967 | 97 | Χ | 0935 | 1 |
| ψ | 0968 | 24 | Ψ | 0936 | 0 |
| ω | 0969 | 115 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 6 | | | 0 |
| ῥ | 8165 | 13 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 127 | έ | 8051 | 130 | ή | 8053 | 75 | ί | 8055 | 197 | ό | 8057 | 104 | ύ | 8059 | 71 | ώ | 8061 | 31 |
| ὰ | 8048 | 107 | ὲ | 8050 | 49 | ὴ | 80852 | 86 | ὶ | 8054 | 154 | ὸ | 8056 | 158 | ὺ | 8058 | 32 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 17 | | | 0 | ῆ | 8134 | 68 | ῖ | 8150 | 53 | | | 0 | ῦ | 8166 | 87 | ῶ | 8182 | 73 |
| ἀ | 7936 | 125 | ἐ | 7952 | 143 | ἠ | 7968 | 10 | ἰ | 7984 | 41 | ὀ | 8000 | 13 | ὐ | 8016 | 132 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 11 | ἡ | 7969 | 20 | ἱ | 7985 | 18 | ὁ | 8001 | 28 | ὑ | 8017 | 28 | ὡ | 8033 | 21 |
| ἂ | 7938 | 6 | ἒ | 7954 | 0 | ἢ | 7970 | 10 | ἲ | 7986 | 0 | ὂ | 8002 | 1 | ὒ | 8018 | 0 | ὢ | 8034 | 3 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 9 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 31 | ἔ | 7956 | 35 | ἤ | 7972 | 3 | ἴ | 7988 | 10 | ὄ | 8004 | 12 | ὔ | 8020 | 8 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 5 | ἕ | 7957 | 2 | ἥ | 7973 | 2 | ἵ | 7989 | 9 | ὅ | 8005 | 22 | ὕ | 8021 | 9 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 3 | | | 0 | ἦ | 7974 | 9 | ἶ | 7990 | 16 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 2 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 1 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 1 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 1 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 4 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 6 | | | 0 | ῃ | 8131 | 18 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 23 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 9 | | | 0 | ῇ | 8135 | 23 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 40 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In decollationem sancti Joannis**

**Verborum Omnium Conspectus: 1,078Verba, quae repetita sunt in 2,436,975 occasionibus**

---

**Ἀβραὰμ** [00160] [00162]
**ἀβροχίας** [00112]
**ἀγαθαὶ** [00099]
**ἀγαθαί** [00171]
**ἀγαθὰς** [00014] [00098]
**ἀγαθὴ** [00100]
**ἀγαθῆς** [00013]
**ἀγαθότητος** [00084]
**ἀγαθῶν** [00099] [00165] [00173]
**Ἀγαθῶν** [00172]
**ἀγαπᾷ** [00158]
**ἀγαπᾷν** [00073]
**ἀγαπήσατε** [00174]
**ἀγαπῶσα** [00075]
**ἀγγέλους** [00046]
**ἀγγέλων** [00160]
**ἄγγος** [00135]
**ἅγιοι** [00131]
**ἅγιον** [00004] [00082]
**ἅγιος** [00080] [00081]
**ἁγίου** [00070]
**ἁγίους** [00127]
**ἁγίων** [00175]
**ἀγωνιῶντα** [00062]
**Ἀδὰμ** [00038]
**ἀδελφοῦ** [00009]
**ἀδιάπτωτος** [00172]
**ἀεὶ** [00111]
**ἀὴρ** [00113]
**ἀθεράπευτος** [00051]
**ἀθέων** [00005]
**Αἱ** [00099]
**αἱ** [00113] [00171]
**αἰδεῖται** [00049]
**αἰῶνας** [00175]
**αἰῶνι** [00070]
**αἰώνιον** [00068]
**αἰώνων** [00175]
**ἀκμὴ** [00114]
**ἀκόλαστον** [00011]
**ἄκουε** [00094]
**ἀκούοντας** [00005]
**ἀκριβῶς** [00022]
**ἀκροδρύων** [00114]
**ἀκωλύτως** [00100]
**ἀλεύρου** [00125] [00133] [00141] [00145] [00166]
**ἀλλ** [00101] [00103] [00111] [00141]
**Ἀλλ** [00017] [00019]
**ἀλλὰ** [00005] [00068] [00102] [00122] [00157]
**Ἀλλὰ** [00013] [00065] [00080] [00096]
**ἄλλην** [00071]
**ἄλλο** [00106]
**ἄλλοις** [00131]
**ἀλλοφύλοις** [00024] [00073] [00082]
**ἀλλοφύλους** [00079]
**ἄλλως** [00125]
**ἁμαρτία** [00069]
**ἀμάρτυρος** [00093]
**Ἀμέλει** [00059]
**Ἀμήν** [00176]
**ἀμνόν** [00160]
**ἄμπελος** [00108]
**ἀμπέλου** [00110]
**ἀμπελῶνα** [00004]
**ἄν** [00010] [00011] [00104]
**ἀναβλέπει** [00057]
**ἀναγκαίως** [00168]
**ἀνάγκης** [00157]
**ἀναζεουσῶν** [00061]
**ἀναθέσθαι** [00087]
**ἀναιδὴς** [00048]
**ἀνανεύουσι** [00143]
**ἀνάπαυσιν** [00100]
**ἀνασταλέντων** [00115]
**ἀναστέλλει** [00131]
**ἄνδρα** [00054] [00055] [00058] [00073] [00100]
**ἀνδρεῖον** [00082]
**ἀνδρεῖος** [00078]
**ἀνδρειότατον** [00041] [00073]
**ἀνδρειότερος** [00079]
**ἀνδρείου** [00083]
**ἀνδρὶ** [00095]
**ἀνδρὸς** [00061] [00084]
**ἄνευ** [00102]
**ἀνήμερον** [00051]
**ἄνθος** [00114]
**ἀνθράκων** [00061]
**ἀνθρώποις** [00069]
**ἀνθρώπων** [00045]
**ἀνομιῶν** [00092]
**ἀνόμῳ** [00095]
**ἀνόμως** [00003]
**ἀνοσίας** [00061]
**ἀντὶ** [00095]
**ἀπ** [00032]
**ἁπαξαπλῶς** [00092]
**ἀπαρχὰς** [00163]
**ἀπατῶσα** [00075]
**ἀπέπνιξε** [00079]
**ἀπέσμηξεν** [00067]
**ἀπέτεμε** [00044]
**ἀπέτεμεν** [00025]

**ἀπετίθετο** [00111]
**ἀπῆλθεν** [00030] [00112] [00116] [00126]
**Ἀπῆλθεν** [00133]
**ἀποβλέπει** [00057]
**ἀποθανεῖν** [00031]
**ἀπολέσῃ** [00154]
**ἀπολέσθαι** [00089]
**ἀποπίπτοντας** [00111]
**ἀποσυλήσασα** [00085]
**ἀποτμηθῆναι** [00003]
**ΑΠΟΤΟΜΗΝ** [00001]
**ἆρά** [00156]
**ἆρα** [00083] [00150]
**Ἆρα** [00067]
**ἄργυρον** [00143]
**ἄρδοντι** [00102]
**ἀρετὰς** [00099]
**ἀρετάς** [00173]
**ἀριθμηθῆτε** [00175]
**ἀρίστου** [00133]
**ἀρίστῳ** [00025]
**ἀρνοῦνται** [00143]
**ἀροσίμου** [00110]
**ἀρούραις** [00111]
**ἁρπάσαι** [00004]
**ἄῤῥενα** [00090]
**ἄῤῥενος** [00088]
**ἀῤῥωστούσης** [00067]
**ἄρτον** [00161] [00165]
**ἄρτου** [00107] [00137]
**ἄρτους** [00118] [00119]
**ἄρτων** [00103]
**ἀρύσασθαι** [00081]
**ἀρχαίας** [00064]
**ἀρχῆς** [00038]
**ἄρχοντα** [00054]
**ἄσθματα** [00062]
**ἀσπίδας** [00052]
**ἀσπίδες** [00025]
**ἀστάχυας** [00111]
**ἀτιμάζει** [00047] [00056]
**αὔρα** [00114]
**αὔριον** [00029]
**αὐτὴ** [00056]
**αὐτῇ** [00087] [00107] [00108] [00109] [00115] [00133] [00142]
**αὕτη** [00064]
**αὐτὴν** [00146] [00152]
**αὐτήν** [00118] [00134]
**Αὐτῆς** [00136]
**αὐτῆς** [00133] [00136] [00152] [00165]
**αὐτὸν** [00025] [00026] [00054] [00055] [00062] [00064] [00064] [00085] [00175]
**αὐτόν** [00081]
**αὐτὸς** [00129]
**αὐτοῦ** [00009] [00030] [00031] [00077] [00079] [00081] [00085] [00092] [00131] [00154]
**αὐτοὺς** [00129] [00130] [00132] [00132]
**αὐτῷ** [00068] [00068] [00100]
**αὐτῶν** [00022] [00175]
**ἀφεθήσεται** [00069] [00070]
**ἀφῆκε** [00118]
**ἀφίησιν** [00132]
**ἀφόρητον** [00051]
**ἄχρι** [00096]

**β** [00097]
**ΒΑΠΤΙΣΤΟΥ** [00001]
**Βαπτιστοῦ** [00003]
**βάσανος** [00148]
**βασιλικῇ** [00063]
**βαστάζων** [00034] [00077]
**βίον** [00014]
**βλαστὸς** [00114]
**βλασφημία** [00069] [00070]
**βλασφημίας** [00059] [00068]
**βο** [00077]
**βόας** [00160]
**βοτάνη** [00114]
**βότρυν** [00108]
**βουλομένοις** [00132]

**γὰρ** [00006] [00007] [00014] [00027] [00036] [00048] [00057] [00068] [00073] [00085] [00099] [00110] [00119] [00126] [00130] [00153] [00158] [00166] [00169] [00172]
**γάρ** [00140]
**γε** [00079] [00156]
**γεγυμνωμένον** [00063]
**γεηρῶν** [00106]
**γῆ** [00112]
**γῆν** [00166]
**γῆς** [00110]
**γινομένης** [00132]
**γινωσκέτω** [00092]
**γλυκέων** [00115]
**γλυκόῤῥυτον** [00108]
**γλωσσώδους** [00021]
**γλῶτταν** [00057]
**γλώττῃ** [00034]
**γοῦν** [00059]
**γράμματα** [00144]
**γραμματείοις** [00144]
**γυμνὸν** [00085]
**γυναῖκα** [00009] [00033] [00034] [00092]
**γυναῖκες** [00173]
**γυναικὶ** [00036] [00058]
**γυναικὸς** [00012] [00015] [00021] [00038] [00039] [00040] [00041] [00042] [00043] [00044] [00046] [00047] [00096]
**γυναικός** [00037] [00067] [00091]
**γυναικῶν** [00005] [00010] [00011] [00173]
**Γυνὴ** [00048] [00095] [00100]
**γυνὴ** [00050] [00053] [00059] [00082] [00083]

**δ** [00011] [00104]
**Δαλιλὰ** [00024]
**Δαλιλάν** [00072]

**Δανιὴλ** [00023] [00129]
**Δαυῒδ** [00039]
**δαψιλῶς** [00118]
**δὲ** [00005] [00005] [00018] [00023] [00024] [00025] [00026] [00045] [00051] [00053] [00070] [00090] [00098] [00117] [00125] [00129] [00131] [00136] [00138] [00139] [00145] [00147] [00152] [00159] [00164] [00165] [00174] [00175]
**δέ** [00037] [00137] [00155]
**Δεῖ** [00098]
**δεῖ** [00014]
**δεινότερον** [00016]
**δεῖσθαι** [00156]
**δὲν** [00015]
**δένδρον** [00109]
**δεξιὰν** [00131]
**δεσμεύουσιν** [00144]
**δεσμεύσας** [00043]
**δεχομένην** [00144]
**δεχόμενος** [00153]
**δήσασα** [00024] [00073] [00082]
**δι** [00034] [00056] [00062] [00064] [00127] [00129] [00129]
**Διὰ** [00008] [00009] [00046] [00086] [00119] [00123] [00167]
**διὰ** [00038] [00039] [00040] [00041] [00042] [00043] [00044] [00047] [00068] [00098] [00105] [00125] [00129] [00129] [00129] [00132]
**διαβόλου** [00038]
**διακρίνῃ** [00128]
**διεγείρει** [00055]
**διέθρεψαν** [00026]
**διεθρύπτετο** [00112]
**διερχόμενος** [00100]
**δίκαιον** [00023] [00059]
**δισσὸν** [00051]
**δίψης** [00081]
**διψήσαντα** [00081]
**δοθήσεται** [00095]
**δοκεῖ** [00012]
**δοκιμαζομένη** [00149]
**δοκιμὴ** [00148]
**δολοφονίαν** [00039] [00054]
**δόξα** [00175]
**δόσιν** [00128]
**δότην** [00158]
**δοῦναι** [00166]
**δράκα** [00125] [00145]
**δράκαινα** [00089]
**δράκοντες** [00025]
**δράκοντι** [00021]
**δράκοντος** [00018]
**δράκων** [00020]
**δρὰξ** [00133] [00141] [00166]
**δρεπανιστῶν** [00111]
**δρόμον** [00175]
**δυνάμενος** [00127]
**δυστήνων** [00010]
**δῷ** [00132]
**δωμάτιον** [00100]
**δώρων** [00163]

**ἐὰν** [00051]
**ἑαυτὴν** [00073]
**ἑαυτῆς** [00056] [00151]
**ἑαυτοῦ** [00127] [00129]
**ἑαυτῷ** [00119]
**ἐβόησεν** [00136]
**ἐγείρας** [00034]
**ἐγεώργει** [00108]
**ἔγκαρπον** [00103]
**ἐγκρυφίαν** [00165]
**ἐγκρυφίας** [00141] [00147] [00161]
**ἐγὼ** [00028] [00032]
**Ἐγὼ** [00052]
**ἔδαφος** [00110]
**Ἔδει** [00169]
**ἐδέξατο** [00165]
**ἐδεσμάτων** [00103]
**ἐδίωκε** [00026]
**ἔθαλπεν** [00073] [00075]
**ἔθαπτεν** [00075]
**ἔθετο** [00007]
**ἐθώπευεν** [00073]
**Εἰ** [00028]
**εἰ** [00029] [00133] [00141]
**εἰκόνα** [00077]
**εἵλετο** [00152]
**εἶναι** [00012] [00099]
**εἰπέ** [00088]
**εἶπε** [00031]
**εἶπεν** [00091] [00138] [00155]
**εἴπῃ** [00104]
**εἴποι** [00011]
**Εἰπόν** [00060] [00066]
**εἰρηκέναι** [00022]
**εἰρωνείᾳ** [00022]
**εἰς** [00002] [00005] [00030] [00057] [00057] [00058] [00132] [00135] [00153] [00154] [00175] [00175]
**ΕΙΣ** [00001]
**εἶχεν** [00138] [00139]
**ἐκ** [00081] [00112] [00130] [00166] [00166]
**Ἐκ** [00084]
**ἐκάμφθη** [00062]
**ἐκείνη** [00073]
**Ἐκείνη** [00145]
**ἐκείνης** [00104] [00149]
**ἐκεῖνο** [00077]
**ἐκείνων** [00011] [00099]
**ἐκλείψει** [00166]
**ἐκμοχλεύουσα** [00054]
**ἐκολάκευεν** [00073]
**ἔκστασιν** [00005]
**ἐκφράσειε** [00011]
**ἔλαιον** [00125] [00141] [00166]
**ἐλαίῳ** [00102]
**ἐλάττω** [00020]
**ἔλεγεν** [00027]
**ἐλέγξαι** [00126]
**ἐλεπτύνθησαν** [00115]
**ἐλθόντος** [00169]
**Ἑλισσαίῳ** [00100]

**ἑλισσόμενον** [00062]
**ἐμὲ** [00005]
**ἐμειλίχθη** [00063]
**ἐμελέτησε** [00088]
**ἐμνημόνευσε** [00064]
**ἐμοὶ** [00005] [00013] [00147] [00159] [00163]
**Ἐμοὶ** [00012]
**ἐμοῦ** [00032]
**ἐν** [00007] [00012] [00015] [00016] [00018] [00020] [00023] [00024] [00025] [00025] [00026] [00034] [00038] [00043] [00063] [00070] [00070] [00079] [00079] [00081] [00081] [00111] [00111] [00112] [00117] [00127] [00128] [00129] [00129] [00129] [00131] [00133] [00137] [00141] [00142] [00147] [00159] [00160] [00161] [00175]
**ἔνδροσος** [00114]
**ἐνέπλησεν** [00165]
**ἐνεπόδιζεν** [00105]
**ἐνιαυσιαίῳ** [00111]
**ἑνὸς** [00029]
**ἐντρέπεται** [00049]
**ἐξ** [00022] [00038]
**ἐξέμηνε** [00039]
**ἐξηλμίσθη** [00115]
**ἐπ** [00147] [00159]
**ἐπαίρεται** [00053]
**Ἐπειδὰν** [00129]
**ἐπείνα** [00156]
**ἐπεισερχομένων** [00115]
**ἐπεπύρωτο** [00113]
**ἐπέχει** [00128]
**ἐπήγαζεν** [00130]
**ἐπήρκει** [00133]
**ἐπὶ** [00004] [00063] [00077] [00160] [00160] [00161] [00166]
**ἐπιδημίᾳ** [00160]
**ἐπίδοξα** [00064]
**ἐπίδοσιν** [00144]
**ἐπιζητεῖ** [00003]
**ἐπιτετευγμένως** [00091]
**ἐποίει** [00164]
**ἐποίησε** [00122]
**ἐπορεύθη** [00030]
**ἑπτὰ** [00077]
**ἑπταφώτου** [00077]
**ἐπώμβρισε** [00130]
**ἐπώμβρισεν** [00129]
**ἐρανιζομένη** [00111]
**ἔργον** [00170]
**ἔργων** [00095]
**ἔρημον** [00030] [00103]
**ἐρήμῳ** [00025] [00129]
**ἑρπετοῖς** [00018]
**ἔρωτα** [00014]
**ἐσαλεύετο** [00114]
**ἔσπευσεν** [00160] [00161]
**ἔσται** [00141]
**ἐστι** [00058]
**ἔστι** [00037] [00037] [00091] [00091]
**ἐστιν** [00155]
**ἔσφιγξαν** [00115]
**ἐσχάτῳ** [00147] [00159]
**ἐτρόμασαν** [00025]
**ἐτρύγησαν** [00171]
**ἐτύφλωσε** [00041]
**εὖ** [00151]
**Εὐαγγελίου** [00005]
**εὐγενέστατον** [00043]
**εὐδόκησα** [00021]
**εὐεργεσίαν** [00026]
**εὐεργεσίας** [00143]
**εὐθηνίας** [00117]
**εὐκλεεῖς** [00172]
**εὐλογίας** [00125]
**εὔξασθαι** [00081]
**εὐποιίαις** [00067]
**εὐποιίας** [00132] [00157]
**εὐπροαίρετον** [00126]
**εὐπροαιρέτους** [00128]
**εὐσπλαγχνίαν** [00063]
**εὐσχήμονας** [00014]
**εὐχαῖς** [00067]
**εὐχῆς** [00034]
**ἐφάμιλλον** [00012] [00015]
**ἔφερε** [00077]
**ἐφθέγξατο** [00067] [00165]
**ἐφοβήθη** [00030] [00033] [00034] [00035]
**ἐφόνευσε** [00023]
**ἐφύλαξε** [00024]
**ἐχαλινοῦντο** [00113]
**ἐχαλκοῦτο** [00113]
**ἔχειν** [00143]
**ἐχέτω** [00096]
**ἔχῃ** [00051] [00054] [00055] [00100]
**ἔχοντας** [00118]
**ἔχοντες** [00143]
**ἔχουσαν** [00101]
**ἔχων** [00092]
**ἕως** [00166] [00167]

**Ζῇ** [00141]
**ζητοῦσα** [00004]
**ζυγοῦ** [00149]
**ζῶον** [00051]
**ζώου** [00129]

**ἡ** [00037] [00059] [00068] [00070] [00082] [00086] [00091] [00100] [00105] [00112] [00149] [00166] [00172] [00175]
**ἢ** [00011] [00021] [00069] [00129] [00129] [00129] [00129] [00141] [00151] [00157]
**Ἡ** [00138] [00152] [00164]
**ᾗ** [00050]
**ᾗ** [00105] [00106] [00110] [00133]
**ἠγάπα** [00074]
**ἠδάφισε** [00042]
**Ἤδει** [00153]
**ᾐδέσθησαν** [00023]
**ἤδη** [00092]
**ἥδιστον** [00109]
**ἠδύνατο** [00120] [00121]

**ἠκολούθει** [00170]
**ἠκούομεν** [00006]
**Ἠκούσατε** [00173]
**ἠλέησεν** [00061]
**Ἠλεὶ** [00042]
**ἦλθε** [00118]
**ἦλθεν** [00031]
**Ἠλὶ** [00163]
**Ἠλίαν** [00004] [00026] [00104] [00129]
**Ἠλίας** [00030] [00033] [00112] [00116] [00133]
**Ἠλιοὺ** [00028]
**ἡμᾶς** [00098]
**ἡμέραν** [00054]
**ἡμεροῦσθαι** [00052]
**ἡμερῶν** [00030]
**ἡμῶν** [00129] [00175]
**ἣν** [00076] [00078] [00080] [00081] [00100] [00148] [00149]
**ἤνθησεν** [00064]
**ἠπάτα** [00074]
**ἤρκει** [00068]
**ἠρνήσατο** [00142] [00145]
**Ἡρώδην** [00054]
**Ἡρώδης** [00007]
**Ἡρωδιάδα** [00002] [00009]
**Ἡρωδιὰς** [00003] [00025] [00054]
**Ἡρώδου** [00003] [00005] [00010]
**ᾐτήσατο** [00031]
**ἥτις** [00100]

**θάλασσα** [00115]
**θαλαττίου** [00129]
**θάνατον** [00058] [00059]
**θαυμάζειν** [00005]
**Θαυμαστὸν** [00142]
**θεασάμενος** [00165]
**θέλει** [00089]
**Θέλεις** [00071]
**θεοὶ** [00029]
**Θεὸν** [00057] [00163]
**Θεὸς** [00032] [00127]
**Θεός** [00158]
**θερμὸν** [00157]
**θέρους** [00111]
**θεσμός** [00067]
**θεσμοὺς** [00057]
**Θεῷ** [00162] [00163]
**θηρίον** [00012] [00015] [00051] [00088]
**θηριώδη** [00005]
**θήσομαι** [00029]
**θλιβομένους** [00132]
**θρέψαι** [00126] [00127]
**θυσίας** [00162]

**ἴαμα** [00081]
**Ἴδε** [00072]
**ἰδεῖν** [00071]
**ἰδία** [00059] [00082]
**ἰδίας** [00099]
**ἴδιον** [00058] [00073] [00073] [00089] [00090]
**ἰδίου** [00061] [00088]
**ἰδίους** [00099]
**Ἰεζάβελ** [00004] [00023] [00026] [00028]
**ἱερέα** [00049]
**ἱερέως** [00042] [00163]
**Ἰησοῦ** [00175]
**ἱκανοδότας** [00144]
**ἱκανούσθω** [00032]
**ἱλαρὸν** [00157]
**Ἱλαρὸν** [00158]
**ἱμᾶσιν** [00085]
**ἱματίων** [00101]
**ἵνα** [00022] [00100] [00128] [00132] [00160] [00161] [00175]
**Ἵνα** [00124]
**ἰσχύος** [00085]
**ἰσχυροῖς** [00085]
**ἰσχυρότερα** [00144]
**ἰχνηλατήσαντες** [00175]
**Ἰωάννην** [00007] [00025] [00044]
**Ἰωάννου** [00003] [00005]
**ΙΩΑΝΝΟΥ** [00001]
**Ἰὼβ** [00059]
**Ἰωνᾶν** [00024] [00129]
**Ἰωσὴφ** [00043]

**καινῆς** [00169]
**καιόμενα** [00061]
**καιροῦ** [00077]
**καιρῷ** [00111] [00112] [00117] [00128] [00133]
**κἀκεῖθεν** [00081]
**κακίᾳ** [00050]
**κακία** [00036] [00037] [00091]
**κακίαν** [00037] [00091]
**κάκιστον** [00050]
**κακὸν** [00038] [00050] [00051]
**κακοῦ** [00050]
**κακῷ** [00020]
**καλὰ** [00064]
**καλῶν** [00014] [00175]
**καμάτου** [00133]
**κάμνοντα** [00062]
**καμφθῶσι** [00144]
**καμψάκῃ** [00141]
**καμψάκου** [00166]
**Κἂν** [00050] [00054]
**κἂν** [00055] [00056] [00132] [00144]
**καρδία** [00149]
**καρδίαν** [00126]
**καρδίας** [00128] [00148]
**καρποὶ** [00172]
**καρπὸν** [00109]

**καρποὺς** [00124] [00171]
**καρπῶν** [00128]
**καρπώσασθαι** [00132]
**κατ** [00077]
**καταβὰς** [00118]
**καταδιῶξαι** [00004]
**κατάμαθε** [00022]
**κατασφάζει** [00047]
**κατέβαλε** [00046]
**κατέκλεισε** [00043]
**κατενέγκας** [00034] [00119]
**κατέστρεψε** [00085]
**κατέστρωσε** [00040]
**κατέστρωσεν** [00079]
**κατέτρωσε** [00038]
**κατεχομένης** [00081]
**κατήνεγκε** [00119]
**κατίσχυσεν** [00083]
**καύσωνι** [00115]
**Κάϊν** [00163]
**κειμένη** [00149]
**κείμενον** [00063]
**κεκομίσθαι** [00092]
**κενὴν** [00101]
**κεράσται** [00025]
**κεφαλὴ** [00037] [00091]
**κεφαλὴν** [00003] [00037] [00091]
**κεφαλῆς** [00077]
**κεχηνότι** [00062]
**κῆτος** [00024]
**κήτους** [00129]
**κλίνην** [00100] [00101]
**κοιλίᾳ** [00024]
**κολακευομένας** [00052]
**κολακευομένη** [00053]
**κολακευόμενοι** [00143]
**κόλασιν** [00068]
**κοντα** [00031]
**κοπρίας** [00063]
**κόρακες** [00026]
**κόσμου** [00044]
**κόσμῳ** [00012] [00015] [00127] [00131]
**κουφότητα** [00005] [00010]
**κρατήσας** [00007]
**κράτος** [00175]
**κρείσσων** [00032]
**κριτήριον** [00057]
**κρυπτομένην** [00126]
**κρυπτόμενον** [00161]
**κύκλῳ** [00111]
**Κύριε** [00032]
**Κύριον** [00060] [00066] [00166]
**Κύριος** [00141]
**Κυρίου** [00057]
**Κυρίῳ** [00175]
**κυρτοβατοῦσα** [00111]

**Λάβε** [00135]
**λάβε** [00032]
**λαβεῖν** [00169]
**λάβῃ** [00160] [00161]
**λάκκῳ** [00023] [00129]
**λαμβάνοντες** [00144] [00163]
**λέαινα** [00090]
**λέγουσα** [00037] [00059]
**λεγούσης** [00094]
**λέγω** [00045] [00175]
**λέγων** [00020]
**λείψανον** [00142]
**λέοντα** [00079]
**λέοντας** [00052]
**λέοντες** [00023]
**λέοντι** [00021]
**λέοντος** [00016]
**Λευΐτην** [00049]
**λέων** [00020]
**λήψεται** [00153]
**Λήψῃ** [00137]
**λιμοῦ** [00112]
**λογίζονται** [00099]
**λόγοις** [00054]
**λόγος** [00013] [00093] [00096]
**λόγῳ** [00020] [00037] [00170]
**λοξενίας** [00128]
**λύπης** [00157]
**λυχνίαν** [00100] [00102]
**λύχνον** [00044]
**λύχνου** [00102]

**μαζοὺς** [00115]
**μαθητοῦ** [00154]
**μαίνεται** [00003] [00053]
**μακαρία** [00100]
**μακαρίας** [00104] [00149]
**μάλαγμα** [00067]
**μάλιστα** [00098]
**μᾶλλον** [00119] [00152]
**μανίαν** [00005]
**μάννα** [00130]
**Μαρτυρεῖ** [00037]
**μαρτυρεῖ** [00020]
**μάχας** [00055]
**με** [00014]
**μεθ** [00054]
**μέλλον** [00057]
**μέλλοντι** [00070]
**μὲν** [00005] [00012] [00050] [00138] [00174] [00175]
**μεσίτας** [00144]
**μηδὲν** [00012]
**μὴν** [00076] [00078]
**μιᾷ** [00079]
**μιᾶς** [00145]

**μιμήσασθε** [00175]
**μισήσατε** [00175]
**μισθὸν** [00153] [00154]
**μισθούς** [00092]
**μνημονεῦσαι** [00014] [00098]
**μοι** [00029] [00032] [00072] [00088] [00135] [00137] [00141] [00147]
**μόνον** [00005]
**μόνος** [00079]
**μόσχον** [00160]
**μου** [00020] [00032] [00032] [00037]
**μυστήριον** [00085]

**Ναβουθαὶ** [00004] [00023]
**Ναὶ** [00035] [00121]
**νεκρᾶς** [00081]
**νεκροὺς** [00034]
**νεφέλαι** [00113]
**νοιαν** [00151]
**νομίσῃς** [00022]
**νόμον** [00169]
**νόσον** [00067]
**νόσος** [00051]
**νύκτωρ** [00054] [00085]
**νῦν** [00013] [00032] [00143]

**ξένου** [00129]
**ξυρήσας** [00041]
**ξυρήσασα** [00024] [00073]

**ὁ** [00013] [00020] [00032] [00033] [00034] [00034] [00092] [00093] [00096] [00113] [00118] [00119] [00126] [00127] [00146] [00154] [00155] [00158]
**ὃ** [00138] [00139] [00155]
**Ὁ** [00007] [00153] [00165]
**ὁδὸν** [00030]
**ὀδύνων** [00067]
**ὁδῷ** [00079]
**οἱ** [00023] [00026] [00029] [00129] [00131]
**Οἷα** [00117]
**Οἶδα** [00014]
**οἶδα** [00052]
**οἶδας** [00069]
**οἴδατε** [00117]
**οἶδε** [00057]
**οἰκείας** [00084]
**οἰκοδομὴν** [00014]
**οἶκον** [00165]
**οἰκουμένης** [00034]
**οἶκτον** [00062]
**Οἶμαι** [00005]
**Οἴμοι** [00033]
**οἶνος** [00106]
**οἵτινες** [00163]
**ὅλας** [00061]
**ὀλίγον** [00135] [00141]
**ὀλιγοστὸν** [00125]
**ὅλον** [00062]
**ὅλου** [00062]
**ὄμβρων** [00115]
**ὁμόζυγον** [00071] [00089]
**ὁμοζύγου** [00067]
**ὂν** [00075]
**ὃν** [00073] [00073] [00073] [00073] [00074]
**ὄνομα** [00153] [00154]
**ὄνου** [00079]
**ὄντας** [00127]
**ὄντων** [00130]
**ὀξύνει** [00054]
**ὀξύτατον** [00038]
**ὅπερ** [00133]
**ὀπίσω** [00136]
**ὅπλον** [00038]
**ὀπώρας** [00109]
**ὁρᾷ** [00132]
**Ὁρᾷς** [00091] [00171]
**ὀργὰς** [00055]
**ὄρει** [00026] [00129]
**ὄρη** [00004]
**ὀρνέων** [00129]
**ὅρον** [00096]
**ὅρους** [00118]
**ὀρχεῖται** [00003]
**ὁρῶσα** [00061] [00062] [00063]
**ὁρῶσι** [00099]
**ὃς** [00077]
**ὅς** [00079]
**ὅσα** [00064]
**ὅσον** [00126] [00141]
**ὅταν** [00131]
**ὅτε** [00112] [00113] [00114] [00115]
**ὅτι** [00032] [00037] [00069] [00091] [00091] [00142] [00153]
**Οὐ** [00015] [00107] [00126] [00157]
**οὐ** [00013] [00032] [00049] [00049] [00057] [00057] [00101] [00106] [00106] [00106] [00109] [00114] [00114] [00119] [00154]
**οὐδ** [00064]
**Οὐδεμία** [00036]
**Οὐδέν** [00058]
**οὐδὲν** [00105] [00133]
**οὐδέν** [00017] [00019]
**οὐδενὸς** [00048]
**Οὐκ** [00037] [00061] [00063] [00091] [00093] [00166]
**οὐκ** [00037] [00057] [00057] [00062] [00064] [00068] [00069] [00070] [00076] [00078] [00091] [00102] [00103] [00106] [00106] [00108] [00114] [00114] [00114] [00120] [00122] [00130] [00138] [00142] [00145]
**οὖν** [00133] [00174]
**οὐρανόθεν** [00034] [00046] [00119] [00130]
**οὐρανοῖς** [00161]
**οὐρανὸς** [00113]
**Οὐρίου** [00039]
**οὔτε** [00070] [00070] [00110] [00110]
**οὕτως** [00082] [00082] [00082] [00083]
**οὐχ** [00049] [00080]
**οὐχὶ** [00067]
**ὀφείλοντες** [00129]
**ὀφειλόντων** [00130]

**ὄφεως** [00037] [00091]
**Ὀφνὶ** [00163]

**παιδεία** [00068]
**παλαιὸν** [00169]
**παλάμαις** [00111]
**πάλι** [00003]
**Πάλιν** [00003] [00004]
**πάλιν** [00003] [00003]
**πάντας** [00005] [00047] [00047] [00047] [00047] [00056] [00127]
**παντὸς** [00044]
**πάντως** [00157]
**παράβασιν** [00040]
**παραγγέλλει** [00086]
**παραδείσῳ** [00038]
**παραδίδωσιν** [00090]
**παραδοῦναι** [00058]
**παρακαλέσασα** [00100]
**παρακαλούμενοι** [00143]
**παρακλήσει** [00144]
**παραμυθίαν** [00106]
**παραχθεῖσαν** [00010]
**παρδάλεις** [00052]
**παρεδίδω** [00059]
**παρέδωκε** [00024] [00073] [00082]
**παρῆν** [00106] [00133]
**παρὸν** [00142]
**παρούσας** [00098]
**παῤῥησίαν** [00005]
**παρύβριζον** [00163]
**Πᾶσα** [00069]
**πᾶσα** [00112]
**πάσχει** [00117]
**πατέρας** [00032]
**πατράσιν** [00129]
**Πειρασμὸς** [00148]
**πένητα** [00055]
**πενία** [00105]
**πενίας** [00106] [00142]
**πενιχρὰ** [00050]
**πενιχρὰν** [00116] [00126]
**περὶ** [00013] [00013] [00045] [00096] [00104]
**περιέρχεται** [00004]
**πέτρας** [00130]
**πηγαὶ** [00115]
**πηγάσαι** [00081]
**πηλὸν** [00143]
**πηχυαῖον** [00110]
**πίομαι** [00135]
**πληθύνει** [00125]
**Πλὴν** [00020]
**πλούσιον** [00105] [00165]
**πλουσίους** [00118]
**πλουτεῖ** [00050]
**πλοῦτον** [00051]
**Πνεύματος** [00070]
**πόθεν** [00083]
**ποθήσατε** [00174]
**ποία** [00090]
**ποιεῖ** [00127]
**ποιήσαισάν** [00029]
**ποίησόν** [00147]
**ποίησον** [00159] [00162]
**Ποῖον** [00088]
**πολέμιον** [00082]
**πολλὰς** [00014]
**πολλῆς** [00132]
**πονηρὰ** [00053] [00095]
**πονηρά** [00050]
**πονηρᾷ** [00036] [00058]
**πονηρὰν** [00092]
**πονηρᾶς** [00012] [00013] [00015] [00021] [00061] [00096]
**πονηρίᾳ** [00051]
**πονηρίαν** [00011]
**πονηρίας** [00071]
**πονηρῶν** [00095] [00173]
**πόνου** [00062]
**πόνους** [00099]
**πόνων** [00172]
**πορευομένης** [00136]
**πορφυρίδι** [00063]
**Πόσοι** [00143]
**ποταμοὶ** [00115]
**ποτε** [00063] [00067] [00081]
**ποτήριον** [00154]
**ποτίζων** [00154]
**Ποῦ** [00150]
**πραγμάτων** [00022]
**πράξεις** [00173]
**πραότατον** [00039]
**πραΰνεσθαι** [00052]
**πρέποντα** [00101]
**προαιρέσεως** [00061] [00105] [00148]
**ΠΡΟΔΡΟΜΟΥ** [00001]
**προμαλακτήριον** [00067]
**προξενεῖς** [00068]
**Πρὸς** [00112] [00151]
**πρὸς** [00014] [00026] [00039] [00040] [00054] [00055] [00059] [00060] [00062] [00063] [00064] [00066] [00090] [00106] [00110] [00116] [00118] [00133] [00134] [00144] [00146] [00151]
**προσέφερε** [00109]
**προσέφερεν** [00107]
**προσέψημα** [00106]
**προσθείησαν** [00029]
**προσιόντα** [00063]
**πρόσκαιρος** [00068]
**προστεταγμένον** [00164]
**προσφερομένων** [00163]
**πρότερον** [00163]
**προφήτη** [00101]
**προφήτην** [00022] [00049] [00104] [00152] [00153]
**προφήτης** [00033] [00118] [00126] [00146] [00155]
**προφήτου** [00129] [00148] [00151] [00153] [00153]
**πρῶτοι** [00163]
**πρώτοις** [00147] [00159]
**πρῶτον** [00144]

**πῦρ** [00034] [00119]
**πῶ** [00011]
**πώποτε** [00088]
**Πῶς** [00110]
**πῶς** [00171]

**Ῥαθμὲν** [00031]
**ῥέπει** [00150]
**ῥῆμα** [00060] [00066] [00067] [00148]
**ῥήμασι** [00119]
**ῥίζα** [00172]

**Σαμψὼν** [00024]
**Σαμψῶνα** [00041] [00073]
**σάρκας** [00061]
**Σάῤῥα** [00161]
**σαυτῇ** [00163]
**σεαυτῇ** [00147] [00159]
**σήμερον** [00074] [00075]
**σιαγόνι** [00079]
**σιαγόνος** [00081]
**σιδήρου** [00144]
**σῖτος** [00106]
**σιτοφόρος** [00107]
**σκώληξι** [00061]
**σοι** [00086]
**Σολομὼν** [00020]
**Σολομῶντα** [00040]
**σοῦ** [00067]
**σου** [00029] [00067] [00087] [00137] [00147] [00159]
**Σουναμῖτις** [00100]
**Σοφία** [00037] [00086] [00091]
**Σοφίας** [00094]
**σοφώτατον** [00040]
**σοφώτατος** [00020]
**σπάνει** [00081] [00142]
**σπέρμα** [00107]
**Σπεῦσον** [00147] [00155] [00159] [00160] [00162]
**σπιθαμὴ** [00110]
**σπινθηροβόλων** [00061]
**σπλάγχνα** [00061]
**σπουδαῖον** [00157]
**σπουδαίως** [00164]
**σπουδῆς** [00156]
**στάχυος** [00114]
**στενοχωρῆσαι** [00152]
**στερήση** [00124]
**στεφάνους** [00099]
**στόματι** [00062]
**στρύχους** [00077]
**στρώματα** [00101]
**σὺ** [00028]
**συγκοίτου** [00087]
**συγκρίνεται** [00036]
**συμμεμετρημένην** [00111]
**σὺν** [00005] [00102]
**συναναστρεφόμενοι** [00131]
**συνειλημμένας** [00061]
**συνεργοῦντα** [00051]
**σύνευνον** [00073]
**συνεχῆ** [00062]
**συνηθείας** [00064]
**Συνοικῆσαι** [00021]
**συντάττουσι** [00144]
**σφαγὴν** [00090]
**σχεδὸν** [00112]
**σώματι** [00063]
**σωτηρίαν** [00132]
**σώφρονος** [00013]

**τὰ** [00004] [00061] [00101] [00152]
**Τάδε** [00029]
**τάδε** [00029]
**ταῖς** [00111]
**ταράττεται** [00003]
**Τὰς** [00174]
**τὰς** [00061] [00098] [00098] [00099] [00128] [00143] [00162] [00163] [00173] [00173] [00174] [00175] [00175]
**ταύτῃ** [00029]
**ταύτην** [00112]
**ταύτης** [00071]
**τεθεικυῖα** [00100]
**τεθνηκότων** [00029]
**τέκνα** [00152]
**τέκνοις** [00133] [00147] [00159]
**τέκνων** [00151]
**τελεύτα** [00060] [00066]
**τέλος** [00169]
**τεσσαρά** [00030]
**τετραπόδοις** [00016]
**τῇ** [00024] [00025] [00029] [00034] [00050] [00051] [00081] [00137] [00160]
**THN** [00001]
**τὴν** [00002] [00003] [00005] [00005] [00005] [00010] [00011] [00026] [00029] [00030] [00030] [00031] [00032] [00039] [00057] [00067] [00068] [00072] [00077] [00100] [00106] [00111] [00116] [00116] [00124] [00125] [00126] [00128] [00129] [00131] [00132] [00133] [00144] [00144] [00145] [00151] [00151] [00166]
**τῆς** [00005] [00034] [00059] [00064] [00068] [00071] [00077] [00081] [00081] [00084] [00085] [00087] [00094] [00104] [00104] [00105] [00106] [00112] [00124] [00125] [00128] [00132] [00142] [00149] [00157] [00166] [00169] [00171] [00172]
**Τί** [00006] [00011] [00016] [00018] [00027] [00045] [00104] [00140] [00155]
**τί** [00008] [00065] [00119] [00123] [00134] [00146] [00167]
**τι** [00060] [00066] [00087] [00106]
**τίγρεις** [00052]
**τιθασσευομένας** [00052]
**τιμᾷ** [00049]
**τινες** [00129]
**τίς** [00077] [00079] [00089]
**τις** [00010] [00011] [00011] [00104]
**Τὸ** [00085]
**τὸ** [00024] [00038] [00051] [00051] [00057] [00081] [00102] [00105] [00125] [00130] [00142] [00143] [00148] [00157] [00164] [00166] [00170] [00175]
**τοιαῦτα** [00088]
**τοιαύτη** [00142]
**τοίνυν** [00015]
**τοιοῦτον** [00067]

**τοῖς** [00024] [00054] [00061] [00073] [00082] [00129] [00131] [00132] [00133] [00144] [00147] [00159]
**Τὸν** [00023]
**τὸν** [00004] [00004] [00007] [00014] [00022] [00023] [00024] [00024] [00025] [00026] [00034] [00038] [00039] [00040] [00041] [00043] [00044] [00054] [00058] [00059] [00073] [00073] [00073] [00082] [00082] [00082] [00089] [00090] [00100] [00104] [00129] [00129] [00129] [00152] [00154] [00160] [00160] [00161] [00163] [00165] [00165] [00166] [00169] [00175] [00175]
**τόν** [00063]
**τόπος** [00110]
**Τοσοῦτον** [00081]
**τοσοῦτον** [00126] [00156]
**Τότε** [00116]
**τότε** [00063] [00163] [00167]
**ΤΟΥ** [00001]
**τοῦ** [00003] [00004] [00005] [00009] [00026] [00038] [00039] [00042] [00061] [00070] [00070] [00083] [00084] [00087] [00088] [00111] [00111] [00112] [00118] [00125] [00129] [00144] [00145] [00148] [00151] [00163] [00166] [00166] [00166]
**τοὺς** [00005] [00032] [00042] [00046] [00056] [00092] [00099] [00111] [00115] [00118] [00118] [00124] [00127] [00127] [00160] [00161] [00171] [00175]
**Τοῦτο** [00127]
**τοῦτο** [00086] [00122]
**τούτου** [00096]
**τούτῳ** [00070]
**τράπεζαν** [00100] [00103]
**τραφῆναι** [00126]
**τρέφει** [00129]
**τροφὴν** [00111] [00129]
**τροφῶν** [00142]
**τυγχάνειν** [00005]
**τυγχάνῃ** [00056]
**τυγχάνουσι** [00020]
**τῷ** [00020] [00020] [00023] [00026] [00037] [00062] [00063] [00070] [00070] [00100] [00101] [00102] [00111] [00111] [00112] [00115] [00128] [00129] [00129] [00133] [00141] [00162] [00163] [00170] [00175]
**τῶν** [00005] [00011] [00014] [00022] [00029] [00061] [00092] [00099] [00105] [00106] [00111] [00115] [00128] [00130] [00143] [00151] [00160] [00163] [00173] [00173] [00175] [00175] [00175]

**ὑβρίζει** [00047]
**ὑβριζομένη** [00053]
**ὕδατος** [00081]
**ὑδάτων** [00115] [00115]
**ὑδρίας** [00166]
**ὕδωρ** [00081] [00130] [00135]
**ὑετὸν** [00034] [00166]
**ὑετοῦ** [00026] [00169]
**υἱοὶ** [00163]
**υἱοὺς** [00042]
**ὑμᾶς** [00005]
**ὑπεκρίνατο** [00073]
**ὑπὲρ** [00032] [00037] [00037] [00073] [00091] [00091]
**ὑπῆρχεν** [00110]
**ὑπὸ** [00003] [00010] [00031] [00061] [00061] [00149]
**ὑποδεξαμένης** [00104]
**ὑποδέξασθαι** [00129] [00130] [00152]

**φείδεται** [00048]
**φέροντα** [00062]
**φησὶν** [00166]
**φι** [00128]
**φιλίας** [00057] [00067]
**Φιλίππου** [00009]
**φιλοξενίαν** [00151]
**φιλοξενίας** [00124] [00171]
**φιλόξενος** [00100]
**φίλων** [00143]
**Φινεὲς** [00163]
**φλυκταινῶν** [00061]
**φοβερὸν** [00079]
**Φόβῳ** [00057]
**φονεύει** [00047]
**φόνον** [00026]
**φρονήσεως** [00172]
**φυλακῇ** [00007] [00043]
**φυλάσσου** [00087]
**φυλάττειν** [00057]
**φύσεως** [00061]
**φυτείαν** [00110]
**φωνῆς** [00005] [00145]
**φῶς** [00102]

**χαλινοῦται** [00057]
**χάριν** [00132]
**χάρις** [00067]
**χάριτος** [00077] [00169]
**χεῖρα** [00131] [00144]
**χειρὶ** [00081]
**χειρί** [00137]
**χήρα** [00056] [00117]
**χήραν** [00116] [00124] [00133]
**χήρας** [00104]
**χθὲς** [00074] [00075]
**χιλίους** [00079]
**χορὸν** [00175]
**χρημάτων** [00105]
**Χριστῷ** [00175]
**χρόνου** [00111]
**χρυσίου** [00144]
**χρυσὸν** [00143]
**χώρα** [00107]

**ψέξειεν** [00010]
**ψυχὴν** [00030] [00031]
**ψυχήν** [00029] [00032]
**ψυχροῦ** [00154]
**ψωμὸν** [00137]

**ὢ** [00061] [00067] [00067]
**Ὢ** [00038] [00050] [00061] [00067]
**ᾧ** [00175]
**ᾠκοδόμησε** [00100]
**ὡμολόγησε** [00139]
**ὠμότερον** [00018]
**ὢν** [00014]
**ὥρᾳ** [00029]
**ὡραῖον** [00082]

**ὡραῖος** [00076]
**ὡραιότερος** [00077]
**ὡς** [00029] [00054] [00081] [00082] [00099] [00099] [00129] [00129] [00129] [00129] [00143] [00156] [00160] [00161] [00162] [00163] [00169]
**ὡσί** [00129]
**ὡσιν** [00131]
**ὥσπερ** [00061] [00149]